

Der Griechische Patriarch, zu Constantinopel.

Georg. Fridr. Schmidt, Sculp. Berolini.

# ΠΑΙΣΙΟΣ ΤΡΙΤΟΣ ΕΛΕΩι ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Τοῖς ἐν πάσῃ τῇ οἰκȣμένῃ καὶ ἁπανταχȣ͂ κοινῶς τὸν Κύριον ἡμῶν Ἰησȣ͂ν Χριςὸν λατρεύȣσι, καὶ ἀληθινὸν Θεὸν ὁμολογȣ͂σι, γαληνοτάτοις καὶ ὑπερτάτοις τῆς Ἱερᾶς Ρωμαϊκῆς βασιλείας Λετόροις, περιφανεςάτοις Δȣξὶ, Δεσπόταις, Ηγεμόσι καὶ Δυνάςαις, θεοσεβεςάτοις καὶ πανaιδεσιμωτάτοις ἀρχιεπισκόποις καὶ ἐπισκόποις ἐν χριςῷ ἀγαπητοῖς ἀδελφοῖς, σὺν πάσῃ τῇ ἱερᾷ καὶ σεβασμίᾳ Ἐκκλησιαςικὴ τάξει, τοῖς πανευγενεςάτοις Ἄρχȣσι, ἐξȣσιαςαῖς, μεγιςᾶσιν, ἐπάρχοις καὶ ὑπάτοις, τοῖς σοφολογιωτάτοις Ἱεροδιδασκάλοις καὶ καθηγήταις τῶν τε μεγίςων καὶ περιφημένων Ἀκαδημιῶν ἀρίςοις πρωέςοσι, καὶ ἁπλῶς παντὶ τῷ χριςωνύμῳ πληρώματι, τέκνοις ἐν Κυρίῳ ἀγαπητοῖς καὶ περιποθήτοις τῆς ἡμῶν μετριότητος· χάρις καὶ ἔλεος παρὰ Θεȣ͂ παντοκρά-

τοκρά-

τοκράτορος καὶ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριςȣ̃, παρ' ἡμῶν δὲ τὴν ἀποςολικὴν εὐλογιάν.

Πᾶσα μὲν ἅπαξαπλῶς ἀγαθοεργία καὶ Φιλοτιμία πρὸς τȣ̀ς χρείαν καὶ ἀνάγκην ἔχοντας γινομένη εὐάρεςος λογίζεται παρὰ τῶ Θεῷ καὶ εὐπρόσδεκτος, μᾶλλον δὲ τὸ ἐλεεῖν πτωχοῖς ἀσθενέσι καὶ χεῖρα βοηθείας τοῖς αἰχμαλώτοις καὶ πεπτωκόσιν ὀρέγειν. Φησὶ γαρ ὁ Σωτὴρ ἡμῶν· γίνεσθε ἐλεήμονες καὶ οἰκτείρμονες, ὅτι καὶ ὁ πατὴρ ὑμῶν ȣ̓ράνιος ἐλεημῶν ἐςί, καὶ ἐν ἑτέρῳ· ἐλεημοσύναι καὶ εὐποῖιαι ῥύȣσι Φυχὴν ἐκ θανάτȣ.

Δηλοποιȣ̃μεν τοινυν πᾶσιν ὑμῖν, ὅτι κατὰ τὴν Φθάσασαν προχρόνων ἀνάλωσ.ν τῆς πελοποννήσȣ πάμπολλοι τῶν χριςιανῶν αἰχμαλωτισθέντες, κρίμασιν ὅις ὅιδεν ὁ κύριος, παρὰ τῆς Φθοροποιȣ̃ τῶν ἀγαρηνῶν ὁρμῆς καὶ δυναςείας, ὁι μέν τινες ἐξαὐτῶν διὰ πάσης συνδρομῆς καὶ βοηθείας τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἀποςολικῆς καθέδρας ἐλυτρώθησαν, ὁι δὲ διὰ τῆς ἐλεημοσύνης καὶ ἐγγυήσεως τῶν ἡμετέρων ἐκκλησιαςικῶν τε καὶ λαϊκῶν, πᾶσαν Φροντίδα καὶ ἐπιμελείαν θέμενοι, ὅσον ἦν αὐτοῖς καὶ ἡμῖν ἐΦικτὸν, γενομένης ὀΦειλῆς καὶ ὑποσχέσεως πλείςης, ὁι δὲ εἰσέτι καὶ νῦν ἐμμένȣσι, ὑπὸ τῆς ἀδυναμίας ἡμῶν πίκρα δȣλείᾳ καὶ κακώσει ἀνεκδιηγήτῳ, ὡς ἀδηάδηλον τοῖς, πᾶσι πάσχοντες πάνδεινα καὶ πνέοντες τὰ ἔσχατα, ἐν

ςεναγ-

ςεναγμοῖς καὶ κλαυθμοῖς ἀλαλήτοις, ὑπὸ τὸν ζυγὸν τῶν ὀθομανῶν, σκληρῶν τε βαρβάρων Ἀράβων, τῶν τε Σκυθῶν ἤτοι Ταταρῶν, ἄνδρες τε καὶ γυναῖκες συν τοῖς τέκνοις αὐτῶν γεννηθεῖσι δυςυχῶς ὑπὸ τὴν αἰχμαλωσίαν καὶ ταλαιπωρίαν τῶν γονέων αὐτῶν.

Τȣ̃τȣ χάριν συνόδικῃ κοινῇ γνώμῃ προεπέμψαμεν ἱερομονάχȣς τινὰς ἡμετέρȣς καὶ πρεσβυτέρȣς ἐλεȣ̃ς καὶ βοηθείας ἕνεκα τȣ́των· τῆς τε ῥηθείσης ὀφειλῆς, εἰς ἣν καὶ ἐνέχονται οἱ ἐγγυηθέντες, ἤδη δ' αὖθις ἀνάγκης κατεπειγȣ́σης ὡς ἐνοχλȣμένων σφόδρα παρὰ τῶν ἀσεβῶν, περιςάσεσι τε ἀλλεπαλλήλαις καὶ συμφοραῖς τῶν δεινῶν κυκλȣμένων, πικραῖς τε τιμωρίαις προσομιλȣ́ντων, καὶ ȣ̓ παυόντων, δεινοπαθῶς ὁσημέραι μετὰ πολλῶν δακρύων δέεσθαι καὶ παρακαλεῖν ἡμᾶς, συναλγῆσαι αὐτοῖς, καὶ φροντίσαι ὑπερ τῆς ἐλευθηρίας αὐτῶν.

Προνοȣ̃ντες, ὡς χρεὼν ἡμῖν, ὑπὲρ τῆς τȣ́των σωτηρίας τῶν ἀθλίως κινδυνευόντων ψυχῇ καὶ σώματι αἰχμαλώτων, καίτοι ςηρίζοντες αὐτȣ̀ς, ὡς εἰκὸς, καὶ τὰ ὑπὲρ δύναμιν, ὡς εἰπεῖν, βοηθȣ̃ντες αὐτοῖς, μεντοίγε μὴ ἔχοντες ἄλλως πῶς ποιῆσαι, ὡς τὸ ἡμέτερον γένος ἐν ἀπορίᾳ καὶ ἀμηχανίᾳ πλέιςῃ τυγχάνον, ὑπο τῆς καθεκάςην πιεζȣ́-

σης

σης πάντας τυραννίας καὶ συνδȣλείας, συνδιασκεψάμενοι ἀλλήλοις τὸ δέον, συνθλιβόμενοί τε τῇ δεινῇ κακȣχίᾳ τȣ̃ πλήσιον, ὡς ὑπόχρεοι πάντες οἱ κατὰ χριςὸν ζῶντες ὑπὲρ τῆς ἀναῤῥύσεως τȣ́των. Ευριμεν καὶ ἄυθις ἔυλογον καὶ ἀναγκᾶιον, ἐξαποςεῖλαι καὶ ἐις τὰ σπλάγχα τῶν κραταιῶν ὑμῶν βασιλεῶν καὶ ἐξȣσιῶν διὰ τῶν παρόντων ἡμετέρων παρακλητικῶν πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων τὸν παρόντα πανaιδεσιμότατον καὶ πανευλαβεςάτον κύριον Ἀθανάσιον Δοροςαμὸν, ἀρχιμανδρίτην τȣ̃ ὀικȣμενικȣ̃ πατριαρχικȣ̃ θρόνȣ καὶ τȣ̃ ἁγίȣ ὄρȣς τȣ̃ ἐν τῷ ἄθῳ, καὶ πάσης χερσωνήας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτȣργὸν, μετὰ τῆς ἱερᾶς συνοδίας ἀυτȣ̃ ἐκ τῆς πελοποννήσȣ ὑπάρχοντα, καὶ περιπέσοντα καὶ ἀυτὸν τῇ κοίνῃ δεινῇ αἰχμαλωσίᾳ συὺ τοῖς ὀικέιοις ἀυτȣ̃ γονεῦσι καὶ συγγενέσι, καὶ μετὰ τᾶυτα μυρία δεινὰ παθόντα παρὰ τῶν ἀθέων βαρβάρων ὑπερ τῆς ἐυσεβείας. ὅν τινα καὶ πέμπομεν παρὰ τȣ̃ καθ᾽ ἡμᾶς ἁγιωτάτȣ ἀποςολικȣ̃ καὶ ὀικȣμενικȣ̃ θρόνȣ κοινῇ γνώμῃ καὶ ἀποφάσει τῶν περὶ ἡμᾶς ἱερωτάτων Μετροπολίτων καὶ ὑπερτίμων τῆς ἱεραρχικῆς συγλήτȣ βȣλῆς ἡμῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν καὶ συλλειτȣργὸν ἐις τὰ σπλάγχνα

τῆς

τῆς Φιλευσεβείας ὑμῶν, χάριν ἐλέȣς καὶ βοηθείας ὑπὲρ τῆς ἐλευθερώσεως τȣ́των τῶν αἰχμαλωτῶν, πϱοσέτι καὶ ἐξαρχικῶς ἐπὶ πάντας τȣ̃ς ἡμετέρȣς Ἱερομονάχȣς καὶ πρεσβυτέρȣς, ὅπȣ δ᾽ἂν τύχωσι οἷς περ καὶ ἐντελλόμεθα συνοδικῶς, ὑπακȣ́ειν καὶ πειθαρχεῖν τῷ παρόντι ἡμετέρῳ ἐξάρχῳ, ὡς πρόσωπον πατριαρχικὸν ἡμέτερον ἐπιφέροντι, καὶ πάσης τῆς ἱερᾶς ἡμῶν συνόδȣ.

Ὧιτινι καὶ δεδώκαμεν πᾶσαν ἄδειαν ἕνεκεν μεν πάσης ἄλλης συμβάσης ἐκκλησιαςικῆς καὶ ὑποθέσεως. πρός τȣ́τοις δὲ ἐπὶ τῷ παραλαβεῖν καὶ συνάξαι παρ᾽ αὐτῶν τὴν καλὴν ἐλεημοσύνην καὶ βοηθείαν τῶν Φιλοχρίςων· διὰ τȣ̃το καὶ συνιςῶμεν αὐτον τῇ ὑμετέρᾳ εὐσπλαγχνίᾳ τῶν εὐσεβῶς κραταιῶς βασιλευόντων Θεοφρȣρήτων ἀνάκτων, τῇ τε μεγαλοπρεπείᾳ τῶν ὑπερτάτων καὶ γαληνωτάτων Λετοράων, περιφανεςάτων Δȣκῶν τε, Πρίγκιπων, Δυνάςων, Ηγεμόνων μεγαλοψυχίᾳ, καὶ πάσῃ ἄλλῃ ὁποίᾳ δηποτȣ̃ν. ἐπιδείξητε πᾶσαν εὐσπλαγχνίαν καὶ βοηθείαν ἔργοις καὶ λόγοις, ἱλαρῷ τε καὶ εὐσπλάγχνῳ τῷ ὄμματι αὐτὸν ἀποδέχθητε, καὶ πάσην ἄλλην φιλοτιμίαν αὐτῷ καὶ συςατικὴν χάριν ποιήσητε, συνιςῶντες αὐτὸν ἀπὸ τόπȣ εἰς τόπον διὰ τῶν ὑμετέρων ἐνδόξων συςατικῶν

γραμ-

γραμμάτων, ἵνα γένηται βοήθεια καὶ εὐποΐια πλȣσιοπάροχος, καὶ ἀνάλογος πρὸς τὴν ἀνάγκην τῶν δεομένων παρὰ τῆς Φιλευσεβείας ὑμῶν, μεσιτευȣ́σης τῆς ἡμετέρας παρακλήσεως, πρὸς σωτηρίαν καὶ ἀπαλλαγὴν τῶν ἐν θλίψεσι καταπονȣμένων, καὶ δεινῶς ἐν τῇ πίκρᾳ δȣλείᾳ τῶν ἀσεβῶν ὑπαρχόντων, καὶ τὰ ἔσχατα κινδυνευόντων.

Ουκ ἥκισθα δὲ βεβαιȣ́μεθα, ὅτι ὡς θεοσεβεῖς καὶ Φιλόχριςοι ὑμεῖς πάντες, ἀναλογιζόμενοι τὴν μεγίςην ἀνάγκην τῆς κακώσεως αὐτῶν, καὶ ταλαιπωρίας, τό τε προγεγονὸς βαρύτατον χρεός ὑπερ τῆς παραμυθίας αὐτῶν, ἐφ᾽ ᾧπερ ἐνέχονται ὁι ἐγγυηθέντες ἐκκλησιαςικοί τε καί λαϊκοὶ συμπάσχοντες ἅπαντες παρὰ τῶν ἀπαραιτήτως καὶ δεινῶς ἀπαιτȣ́ντων τὴν ὀφειλὴν τῆς ποσότητος, καὶ συνελόντι κινδυνέυοντες ἐσχάτως, ποιήσητε συναχθείαν, βοήθειαν, καὶ ἐλεημοσύνην ἁρμόζȣσαν καὶ ἀξιόλογον, ἐξ ὧν ὑμῖν ὁ θεὸς ἐχαρίσατο ἀγαθὰ, καὶ ἐπιδείξητε πᾶσαν φιλεύσπλαχνον γνώμην, προαίρεσιν, συνδρομὴν, σπȣδὴν, ἐπιμέλειαν, καὶ προθυμίαν, κατὰ τὴν αἴτησιν ἡμῶν, πρὸς τοὺ ἐπιφέροντα ἡμέτερον παναιδεσιμότατον Αρχιμανδρίτην τὰ παρόντα Πατριαρχικα συνοδικὰ ἡμῶν γράμματα, ἀποπληρωθησομένων τῶν ἐντολῶν τȣ̃ Κυρίȣ ἡμῶν Ιησȣ̃ χριςȣ̃ ὑπο τῆς φυσικῆς ὑμῶν καλοκαγαθίας.

Ως αἰνετὸν τὸ ὄνομα ὑμῶν ἀπὸ ἀνατολῶν ἡλίȣ

μέχρι

μέχρι δυσμῶν, ἵνα διὰ τῆς καλῆς ὑμῶν ἐλεημοσύνης καὶ ἀγαθοεργίας οἱ μὲν δυστυχεῖς αἰχμάλωτοι ἀπολυτρωθῶσι σὺν γυναιξὶ καὶ τέκνοις ἐκ τῆς πικρᾶς καὶ σκληρᾶς δουλείας, ἐλευθερωθῶσι τε καὶ οἱ συμπάσχοντες ἐκ τῆς ὀφειλῆς καὶ ἐνοχῆς τῆς αὐτῶν ἐγγυήσεως. ὑμεῖς δὲ τοὺς ἀξίους μισθοὺς ἐξ οὐρανῶν μυριοπλασιόνας ἀντιλήψεσθε, καὶ ζωὴν τὴν αἰώνιον. ἔχοντες καὶ ἡμεῖς ἀπαραίτητον χρέος αἴρειν ἱκετίδας χεῖρας πρὸς Θεὸν ὁσημέραι καὶ δέεσθαι τῆς εὐσπλαγχνίας αὐτοῦ, καὶ πᾶν τὸ δύναμιν ὑπὲρ τῆς ὑγιείας καὶ σωτηρίας ὑμῶν, ὑπὲρ τοῦ διατηρῆσαι καὶ περιφρουρῆσαι τὰς βασιλείας ὑμῶν, καὶ πάσας τὰς ὑμετέρας ἀρχὰς καὶ ἐξουσίας, κραταίας τε καὶ ἀνικήτους, ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τὰ σκήπτρα ὑμῶν πάντα ἐχθρὸν καὶ πολέμιον, ὑπὲρ τοῦ δωρηθῆναι ὑμῖν πάντα τὰ ἔφετα καὶ καταθύμια, βαθύ τε γῆρας καὶ λιπαρὸν, καὶ διαδοχὴν ἀδιάλειπτον, τήν τε εὐλογίαν καὶ εὐθύνιαν τοῦ Ἀβραὰμ, Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τὰ ἔσχατα τοῦ Ἰώβ, ἐπὶ δὲ τούτοις, ὡς τέκνα ἡμῖν ἀγαπητὰ καὶ περιπόθητα, τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰρήνην καὶ ἀγάπην πᾶσιν ὑμῖν ἀποδιδόντες ποθεινῶς ἐκ καρδίας ἐπιστέλλομεν τὴν ἀποστολικὴν εὐχὴν καὶ εὐλογίαν. οὗ ἡ χά-

ρις

ρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ὑμῶν, Αμήν. ἐδώθη ἐν νέᾳ Ρώμῃ ἐν τῷ ἁγίῳ Γεωργίῳ ἐν ἔτει σωτηρίῳ αψλδ, ᾳ ινδίκτου βίσεκτος ἐν μηνὶ Μάϊῳ α, ινδικτιονος ιβ.

ὁ Καισαρείας Νεόφυτος,
ὁ Κυζικοῦ Αυξέντιος,
ὁ Νικομηδείας Σεραφίμ,
ὁ Αδριανουπόλεως Αθανάσιος,
ὁ Νικήας Καλλινικὸς,
ὁ Προιλάβου Ιωαννίκιος.

*Sursa:*

Jakob Elsner, *Neueste Beschreibung derer griechischen Christen in der Türkey,* Berlin, 1737, pp. 20-27

Original în limba germană, scris pe hârtie.

© Documentul nu este protejat de drepturi de autor datorită vechimii sale.

® Document reprodus după originalul din limba germană de *Măcreanu Iulian,* la data *24.02.2013.*